ΕΡΙΘΑΛΆΜΙΟΝ

# *IN HONOREM NVPTIARVM CLARISSIMI ET DOCTISSIMI VIRI D. PETRI CAROLII præceptoris sui perpetua gratitudine & reuerentia demerendi, fidelissimi Ecclesiæ Dei Pastoris, in vrbe celeberrima Pannoniæ VARAD, & pudicissimæ virginis ANNAE, sponsæ eius castissimæ, filiæ honesti ac integerrimi viri ciuis Debreciensis D. GEORGII BEREGDI,*

*scriptum*

*à*

*IOHANNE BEREGZAZIO.*

Vitebergæ,
Excudebat Iohannes
Crato.

*ANNO M. D. LXIX.*

# ΕΠΙΘΑΛΑΜΙΟΝ.

Πένθεος ἀργαλέοιο τέως χρὴ μοῦσα λίγεια
λησέμεναι, μηδὲν πολυπενθέα αἴτιόν ἐστι
θυμὸν ἔχειν, μᾶλλον δ' ἐσσαθῆ γῆθος ἔοικεν.
Ἄλγος ἔχουσ' ἀκέουσ' ἐπὶ τῷ προτέρῳ σὺ καθέζου
νόσφι λιασθεῖση, μερμηρίζουσα ἢ λίην
ἢ ἐμὲ καρπαλίμως παραλείψειας σὺ ἄαπτος.
ἢ ὀλίγον σὺν ἐμοὶ καιρὸν μείνειας ἑκήλη,
οὐκ ἀλόγως, θῶκον γὰρ ἐγὼ μὴ δῦναι ἀνεκτὸν
μήδ' ἄτιμον καιροῦ ἀναλισκέμεναί σοι ὀρίζον.

Δεῦρ' ἴθι μοῦσα φίλη λιγυρῇ θέλγουσα ἀοιδῇ
ἤδη νῦν θῶκον τ' ἕξεις καιρόν τε δεόντως
τίκτων γάρ σε πατὴρ ὁ, σαώτερος ἐντὶ, ἀμύμων
νῦν γαμέει, χαίρων μεγάλως, εἰκυῖαν ἄκοιτιν.

Δεῦρ' ἴθι δαιδαλέην καλὴν φόρμιγγα Ἄπολλον
-λάμβανε Φοῖβε ἄναξ, χρύσεον πλῆκτρόν τε τάνυσσαι
ὥς ἄρα φορμίζων λίην ξυντέρψεο θυμὸν
ἱμερόεσσαν ἐπὶ, κιθάρης περικαλλέος ἀνδρῶν.

Χαίρετε οὖν πάντες τ' αὐδὴν καὶ κέκλυτε Φοίβου
Ἀνέρες, οὐκ ἔστι θνητῶν μερόπων ἀνθρώπων
οὐδεὶς ὃς πραπίδεσσι πάλαι θαυμαστὸν ἐῆσιν
ἄῤῥητον μὴ θαμβήσῃ θεοείκελον ἔργον
ἀθανάτοιο θεοῦ πρώτου πρηκτῆρος ἁπάντων
ὃς κάλλιστα ἔτευξε λόγῳ ἰφθίμῳ ἕκαστα.
εἰκόνα ἀλλ' αὐτοῦ μᾶλλον θάμβησεν ἔοικε
ἄνθρωπον παράδειγμα θεοῖο καθώσπερ ἔοργε;
ἐν γὰρ στήθεσσιν τούτων μαλακοῖσιν, ἔδωκεν
στοργὰς σημεῖον τ' ἀγαπητικὸν ἔμμεναι ἐσθλὸν
ἣ αἰεὶ τέκνον στέργει θεὸς ἀστεροπητής
ἢ καὶ τὴν στέργει σεμνὴν ἐκκλησίαν ἑοῦ.
ἠνίδε τοῖς λευκὸν τέκνοις γάλα ἐγγυάλιξε

στοργὰς

Tiszántúli Református Egyházkerület
Nagykönyvtára, Debrecen
RMK 396

στοργὰς ἐπεὶ μητρὸς θήλην ὑπομάζιοι ὄντες
μύζουσιν, φιλέουσι κασίγνητοι τ' ἀλλήλους
Αἷμα ἐπιγνάμψει τε φιλεσκέμεν αἷμα, ἑαυτοῦ
τοὔνεκα ἠγείροντο συναίμονες ἐν πολίεσσιν,
τοὔνεκα καὶ γνωτοὶ πόλιας καὶ δώματ' ἔτευξαν
τοὔνεκα κοινὰ ἔην καὶ ἀγχιστεῦσιν ἅπαντα
ἦμος χρύσειος καὶ ἀμείνων ἦν ἐνιαυτός.
νῦν δ' ἐπεὶ χείρονα ἐγεννήσαντο ἅπαντα
ἀλλ' ἐσθλῶν σπινθὴρ στοργῆς ἐν πᾶσιν ἔμεινε
ὡς πατέρας τέκνοις πατράσιν καὶ τέκνα ἐφάψη,
αὔθαιμοι πάλιν αὐθαίμοις καὶ γνωτοὶ ἀδελφοῖς
καὶ φρήτρη φρήτραις φῦλον φύλοις ἐρίηρες.
τοῦτ' ἐκπαγλότατον μέγ' ὑπερμενέος τε θεοῖο
ἐς ἔργον γ' οἷον πῶς ἐκ πλευρᾶς ὑπέρεισμα
ἀνέρι ἔρρεξεν, κρατερὸν δ' ἐπὶ μῦθον ἔειπεν
εἵνεκα οὗ, πατέρα χρὴ μητέρα ἠνὶ λίπεσθαι.
Δέξονται καλῶς τ' ὁσίῳ φιλότητι γυναῖκας
εὐειδεῖς, δέμας ἠδὲ φύης φρενὸς ἀγλαὰς ἔργου
Εὔσκοποι εὐαγρέες καὶ ὁμόφρονες ἴδρυες ἄνδρες.

Τίπτ' ἀλόχους τοίνυν φιλέουσιν κηρόθι ἄνδρες
μήποτε κἂν πρότερον σοῖς ὀφθαλμοῖσιν ἴδωσι
ἔμμεναι ἀτρεκέως ἴδμεν τ' ἀσεμφέα βουλὴν
κυδίστου θεοῦ ὃς ἔπος σὺν βουλῇ ἔειπε.
εἶναι οὐκ ἀγαθὸν μούνοις μερόπεσσι βροτοῖσι
ἐρχόμενον οἶον ἀνέρι προσείκελον ἕρμα ἑοῖο.
αἶψα ζωστῆρος πλευρὰν βεβαρηότι ὕπνῳ
πρωτίστου λάβεν πατέρος θαλερὴν δ' ἔτευξε
παρθενικήν, σεμνοῦ παράκοιτιν δ' ἔμμεναι ἀνδρὸς
νηδίμου ὃς δὲ τάχιστ' ἐξέγρετο ὕπνου ἔειπεν
ὀστέον ἐξ ἐμέθεν καὶ ἡ σὰρξ ἐστὶν ἐκείνη
εἰς οὖν ἀμφοτέρω χρεὼς ἐσμὲν σαρκὶ ἐν, ἄμμε.

Ἔνθεν γε βλέπομεν στοργὴν πᾶσ' ἐμπεφυῦαν

ἐντίμοισι μέρος δὴ ὡς φιλέωσιν ἑῆος
σώματος ἐκλεκτὴν καὶ ὁμοφρονέουσαν ἄκοιτιν.

Φεῦ δὲ κακῶν ὀλίγοι συζεύγνυσθαι ὅλον ὀρθῶς
εὑρήσαντ' ἀνέρες, γαμέειν περὶ οὐδενὸς ὅσσοι
ἔσχον, μήδε θεοῦ ἠρῶντ' ἀλεγιζέμεναι, οὐδὲ
ἁγνίζειν, καὶ ὁμοφροσύνην αἰτεῖν ἀλογοῦσι.
αὐτὰρ χεῖρας εὐξαμένοις εἰς μακρὸν ὄλυμπον
τοῖσιν ἀνασχόντεσσι, θεὸς ναὶ πολλάκ' ἐέλδωρ
ἠγάθεον κραιαίνει ὀπάζων εὐπατέρειαν,
σωφρονικήν τε φύσιν ἐναλίγκιον ἀνέρι κούρην,
σῶμα μὲν ὡς πάντες καὶ ψυχὴν ἔμμεναι ἀμφοῖν
φαίνη μίαν, κεῖθεν γνησίῳ φιλότητ' ἀλλήλους,
ζῶντε περιπλέξουσιν, ἅμα πράττουσι καὶ ὄλβον.

Ὄλβιός ἐστιν ἀνὴρ ἑτάρην ἐκ παντὸς ὁμοίην
ἤθεσι εὑρίσκων. τῷ γὰρ μάλα ἔκλυον αὐτοὶ
ἄλγεα παῦρα πάνυ καὶ χάρματα πολλὰ φέροντε
ἀνὴρ ἠδὲ γυνὴ ἐρέω ὁ τρὶς ὄλβιος ἐστὶ
Δύσμορος ἀλλ' ἐστὶν καὶ ἀποτμότατος κατὰ γαίας
ὃς γαμέει ψυχῆς τε βίου παντὸς τρόπου ἐχθρὴν
σύμβασις οὐκ ἐστὶν τούτων φιλότητος ἄριστον
οὐ κλέος, ὁ στυγερὸς πολὺ ἐστὶν ἑαυτῷ ἐκεῖνος
ἱέμενος θανάτου, ζώειν καὶ ἀήδεα πράττει.

Τρισμάκαρ οὖν πολλῶν δὲ μακάρτατος ἔσσεται ἄλλων
ΚΑΡΌΛΙΟΣ τιμὴν λαοῦ θεράπων καὶ ἰησοῦ
ὀτρηρός, φιλέει θεὸς ὃν καὶ κήδεται αἰεί.
οὗτος γὰρ ΠΕΤΡΟΣ, πέτρος παράμεινε κατ' ἀρχῆς
νηπίου ἐκ, τιμᾶν θεὸν εἰσκαλέειν τε πανάλκη
πείθετο, καὶ βιοτοῖο τετιμένος ἦεν ἅπασιν
τοῖς πολυτιμήτοις, καὶ ὀψιγόνοισι γενεαῖς
λεύσσουσιν γὰρ ὁμῶς ζωῇ τε διδάγματα ὁδίτην.
καὶ νέος ὢν ἐξῆρχε νέους παῖδάς τε διδάσκειν
τέχνῃσιν; καὶ ἐπισταμένως περικαλλέα τέκνα

γείνατο.

γείνατο, ἀθάνατόν γε λάβε κλέος ἄξιον ἔνθεν.
κῆρυξ νῦν δ' ἀγγέλλων χριστοῖο νέμει θεόσεπτον
κῆρυξ νεκταρέοις καὶ ἀμβροσίοισιν ἔπεσσιν
σχέτλια ἔργα φυγεῖν καὶ πρατέμεν αἴσιμα ἔργα
κηρύσσων, αὐτὸς δ' ἔργοις πίστιν καταδείξει
ἐσθλοῖς, ὡς ἀκολουθήσωνται πῶεα καλά.
τοὔνεκα οὐράνιος μακαριστότατον θεὸς αὐτὸν
πάμπαν σύνταξεν γαμετὴν καὶ δῶκεν ὁμοίαν
ἤθεσι ἠδὲ φυῇ καὶ ἀγλαὰ ἔργ' εἰδυῖαν
ἣν γεραρὴ καλῶς ἐδίδαξε τεκοῦσα ἀρίστην
πρὸς πινυτήν, μᾶλλον τηλεκλειτοῖο ἐν ἄστει
ΔΕΒΡΕΚΕΝ, ἀτρεκέως δ' οὔπει πῶ ῥῆμα θεοῖο
ἐν γὰρ φόβοιο θεοῦ παῖδας τελέουσι πολῖται.
ἔνθεν κουριδίην ἄλοχον ἰότητι καὶ αἴσῃ
γῆμε θεοῦ, κυδρὴν, καὶ ἠϋγενῆ καὶ ἀγητὴν
ἔμμορε ἣ κατὰ μοίρας ἐοικὸς τοὔνομα ἠθεῖ
ἌΝΝΑ βίου παναρίστη, ἐπαινετὴ Ἄννα γὰρ πᾶσιν.
ἌΝΝΑ θεῷ πρῶτον, πάντεσσι γὰρ ἔμμεναι ἐσθλῇς
ὥρεσ' ἔοικε, ἕπεται πόσει, μετόπισθεν ἅπασιν
κυδροῖσιν μερόπεσσι, βίου κεχαρισμένου Ἄννα.
Ὥς γὰρ πατὴρ φίλην καὶ μήτηρ πότνια κούρην
ἐνδυκέως ἐδίδαξεν ἐπιτροχάδην ἀγορεύων
Ἀγλαοὶ ὡς ἀγέροντ' ἀνέρες πομπῆες ἕκαστοι,
τῆς πομπῆς καλῆς εὐώπιδος εἵνεκα κούρης.
Ὦ τέκος οἶδα φίλον, βαρέως ἀπάνευθε τοκήων
εἶναι, καὶ βαρέως ἀπάνευθ' ἀπὸ πατρίδος αἴης.
οὐδὲν γὰρ γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
γίνεται, ἀλλὰ πατὴρ καὶ μήτηρ ἔσσεται οὗτος
ᾧ καὶ δεξιτερὴν ἄρ' ἐμοὶ καὶ πίστιν ἔδωκας.
κύδιστος γὰρ θεός σε μινυνθάδιον περ ἐοῦσαν
Ἄμμι ἔδωκε κομεῖν, πρὸς τοῦ θαλεροῖο γάμοιο
καιρὸν, νῦν δ' ἐτέλεσσε θεὸς γάμον οἴκαδ' ἄγεσθαι

ἦλθε ἀνὴρ κυδρὸς καὶ ἀμύμων γηθόσυνος κῆρ
τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.
καὶ σοὶ ἄριστος ἀνὴρ πάντων μάλα φίλτατος ἦστι
τοῦ σὺ ἄκουε λόγου τόφρα ζωοῖσι μετείης
τὸν σ' αἰδεῖο ἀεὶ τοῦδ' καὶ ἐπιπείθεο μύθῳ
μνησάμενος πατρὸς καὶ μητέρος ἠϋκόμοιο
τῶν μέγα καὶ πάτρης μάλα τηλόθι νῦν κλέος ἐστί,
μή συ τοκεῦσι γόον καὶ πένθος φίλτατε κούρη
θές, κῦδός γε τεὸν σὺ περίφρων σῶζε καὶ ἡμῶν
ὥς σοὶ ἔδωκε θεὸς πολὺ ἀγλαὰ δῶρα μέγιστος,
ἄμφω δηρὸν εὖ ζώειν καὶ ὄλβον ἄριστον
καὶ ὥς παῖδες ἔασιν ἐλαῖαι τηλεθόωσαι
ὄλβια τοῖσι θεὸς δώσει καὶ παισὶν ἑκάστοις.
ἠδὲ πολυστάφυλον καὶ εὐκτίμενον πτολίεθρον
ἐστὶ τὸ ΒΑΡΑΔΙΝΟΝ τὸ ὄθι καλλίρροον ῥέει ὕδωρ
χρύσιος ἐκ πηγῆς χρυσοῦ ὅθεν ἐστὶ γενέθλη
καὶ ποταμὸς χρυσοῦν νικᾷ δόξα τε πόσει τε
ἀμφὶ δὲ παννονίης κλυτὰ δώματ' ἔναιον ἄνακτες
ἐν χερσὶν σκῆπτρον, χρύσεον καὶ στέμμα ἔχοντες
ἐνθάδε ὅς ποιμὴν λαοὺς ποιμαίνει Ἰησοῦ
τοὔνεκα χαῖρε τέκος καὶ δάκρυα βάλλε ἄριστον.
Δακρυχέουσα ἔπειτ' ἠμείβετο πότνια κούρη
πάντα πάτερ μῆτέρ τε φίλη κατὰ μοῖραν ἔειπας
τὴν φιλότητα πόσει ἡμῖν θρεπτήρι' ὀφείλω
καὶ κῦδος πόσεως ἡμῶν καὶ ἐμεῖο μεμηλώς
ἀθάνατος δὲ δότω τελέειν ἐμὲ ταῦτα ἅπαντα
ἀμφί τε τὰς χεῖρας δηρῇ βάλλουσ' ἔκυσ' ἄμφω.
Πότνια οὖν μήτηρ χαίρει μνηστῆρος ὁρῶσα
μνηστὴν εὐδόκιμον καὶ ὁμαρτῇ κάλλος ἐχούσαν
χαίρει καὶ μνηστῆς φίλη μήτηρ τε πατήρ τε
ἀξίω ὡς εἵμαρτ' ἀνέρι καὶ ἀξία κούρη
ἐξ ὁμόθεν Νυμφῶν καὶ νύμφη χαίρετον ὡς χρὴ

ζευγνῦ

ζευγνῦν ἶσον ἴσῳ θεὸς εὖτ᾽ ἐθέλῃ συνάερρας
συγγενέες χαίρουσι φίλοι πηοί τε ἅπαντες
μολπῇ τ᾽ ὀρχηστῦι δείξαντες χάρματα καλά.
εἰ δ᾽ ἄγε νῦν κιθαρισταὶ ὁμῶς ἐρατεινὸν ἄθυρμα,
ἐπὶ ἐπανύσσοντες συμφώνων μέλπετε χορδὰς
ὡς πάντεσσ᾽ ἀνάθημα γενήτω πάντοθι δαιτὸς
εἰ δ᾽ ἄγε τ᾽ ὀτρηροὶ μελιηδέος οἰνοχοοῦντες.
οἴνου ἐρυθροῦ ὁμῶς λευκοῦ καὶ αἴθοπος οἴνου
οἴνου ἡδυπότου κεράασθε κύπελλα ἅπαντα.
Νῦν καὶ ἄφυσσαι ἔοικε τάχισ᾽ ἀγανοῖς δεπάεσσι
ὡς ἐπιδέξιον ἀεῖσαι ὁμῶς τε πολύφρονες ἄνδρες
καὶ μινυρίζομεναι μνηστῇ μνηστῆρι τε ὀρθῶς
καὶ ἅμα γηθόσυνοι ὀρχήσασθαι ἐπιδέξιον.
Πῶς δ᾽ ἐγὼ ὑμνήσω μίμνων ἀπὸ πατρίδος αἴης
τηλόθ᾽ ἀμηχανέων μελεδώνων ἐν μεγάροισι
μουσῶν φιλομαθής, τέχνας τε δαήμεναι ὁρμῶν;
γήθομαι εὑρέμεναι πολύτιμον φῶτα δάμαρτα
Αἰδοῖαν γῆθος δ᾽ εὐχωλῇ πολλάκι δείξω.
Χριστὲ κυβερνητὴρ πάντων ἐπίκουρε γαμούντων
ἔμμεναι ὃς παρεόντα γάμοις πάντεσσι δικαίων
ἠδὲ ἀρηγέμεναι παρεὼν κεφαλῇ κατάνευσας.
κλῦθι μεδ᾽ ἀθάνατος, θάνατον δ᾽ ἀπὸ σοῖσιν ἄμυνε
ὀξέα παίδεσσιν, σὲ θεὸς σὺ φύλαττε φιλοῦντας
τὼν πτερύγωντε ὕπαι σοὶ γὰρ θεράποντε ἔασι
ἄμφω, κύδνος ἀνὴρ καὶ κούρη καλλιπάρηος.
ποίει δηρὸν εὖ ζώειν καὶ οὐδὸν ἵκεσθαι
γήραος, ἀσκεθέε ζώειν, ποίει καὶ αὔξεσω
τῶν παῖδας παίδων υἱώνων υἱέες αὐτῶ
εἰσοροῦντε καθὼς αἰζηὰς ῥῶπες ἐλαίων
Ἐξείης παρὰ τὴν ξεστὴν, ἵζειν ἢ τράπεζαν.
δὸς θεὸς ἀσπερχὲς μενεαίνετον ὅσσα γένεσθαι
καὶ κακὰ καὶ σωρῶν ἐχεπευκέα τηλόθ᾽ ἔεργε

ὥς σε-

ὥς σε πατὴρ μήτηρ τε ἄει καὶ ἀγλαὰ τέκνα.
δοξάζωσιν ἑκόντες ὁμῶς κατ᾽ ἤματα πάντα.
Ἔρδε θεὸς πάντεσσι πόνοις παρεὼν σὺ δ᾽ἔρηγε
ὅσσα γὰρ κήδε᾽ ἀνάσχεσθαί τε παθήματ᾽ ἀνάγκη
αὐτοῖν τετλάμεναι ἀλαπαδνότεροί τε δυώωνται.
ἔρξον τὸν κήρυκα, τεὸν βιοθάλμιον εἶναι
αἰναρετὴν ἄλοχόν τε πάναγνον, καὶ καλὰ τέκνα.
ὁππότε κεν μοῖραν βιότοιο ἀναπλήσωσι
πανσυδίῃ προσεβήσωνται τὸν μακρὸν ὄλυμπον,
Ἄμβροτον ἀθάνατόν τ᾽ εἶδαρ καὶ νέκταρ ἐρυθρὸν
δεξόμενοι, μολπάζωσίν σε ἀθεσφάτῳ ὕμνῳ.

Τέλος.

Tiszántúli Református Egyházkerület
Nagykönyvtára, Debrecen